www.tezaurliturgic.ro

**+**

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ & ΕΝΔΟΞΟΝ ΜΑΡΤΥΡΑ ΤΟΥ ΧΡΙΣΤΟΥ ΑΙΜΙΛΙΑΝΟΝ

**(οὗ ἡ μνήμη τῇ 18η Ἰουλίου)**



Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵βιε΄ * 2015 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ & ΕΝΔΟΞΟΝ ΜΑΡΤΥΡΑ ΑΙΜΙΛΙΑΝΟΝ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

Ἦχος δ'. Ὁ ὑψωθείς.

Καταφλεχθεὶς τῇ τοῦ Κυρίου ἀγάπῃ,
ζήλῳ συνέτριψας τὰ εἴδωλα μάρτυς,
διὸ πυρὶ παρέδωκας τιμίαν σου ψυχήν·
ὅθεν σου δεόμεθα,
τῶν εὐχῶν σου τῇ σφύρᾳ,
θραῦσον πάντα εἴδωλα,
τῶν ψυχῶν χριστωνύμων,
ὅπως ἀεὶ ὦ Αἰμιλιανέ,
δοξάζωμέν σου,
τὸ θεῖον μνημόσυνον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,

www.tezaurliturgic.ro


τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνωνκ
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*«Σύντριψον ψυχῆς ἡμῶν, Αἰμιλιανέ, πάθη.Ἀ(θανάσιος)».*

Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ὑγρὰν διοδεύσας.

Σταυροῦ τῇ δυνάμει κραταιωθείς,
ἀπώσω τὸν φόβον,
ἐκ ψυχῆς Αἰμιλιανέ,
καὶ ἄψυχα εἴδωλα συντρίψας,
μαρτυρικῶς ἐν πυρὶ τετελείωσαι.

Ὑπὲρ τὰ ὁρώμενα καὶ φθαρτά,
ἠγάπησας Μάρτυς,
τὸ μαρτύριον τοῦ Χριστοῦ,
τὸ μέτρον ἡμῖν ὑποδεικνύων,
ὀφειλομένης Θεοῦ ἀγαπήσεως.
Νοήσας τὴν πλάνην τῶν ἀσεβῶν,
οὐκ ἔφερες βλέπειν,
τὴν ἀπώλειαν τῶν ψυχῶν,
ἀγάπῃ κινούμενος γνησίᾳ,
ἣν καὶ ἡμῖν δίδου Μάρτυς ὡς χάρισμα.

Θεοτοκίον

Τεκοῦσα Παρθένε Λόγον Θεοῦ,
Ὃν ἄμετρα πλήθη,
ἠκολούθησαν σταυρικῶς,
μεθ’ ὧν Αἰμιλιανὸς ὁ γενναιόφρων,
τοῦ Δοροστόλου τὸ ἔνθεον καύχημα.

Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ῥῦσαι ἔνδοξε Μάρτυς,
τοὺς σὲ θερμῶς σέβοντας,
ἀπὸ τῆς δαιμόνων ἀπάτης,
θείαις πρεσβείαις σου,
καὶ πάθη σύντριψον,
τὰ ὥσπερ εἴδωλα ὄντα,
ἐν ψυχαῖς καὶ θέλοντα,
τιμὴν ἰσόθεον.

Ἱεροὺς οἴκους δεῖξον,
καὶ προσευχῆς ἅπαντας,

Αἰμιλιανὲ τοὺς τιμῶντας,
τὸ σὸν μαρτύριον,
ὅπως τὸ Ὄνομα,
τοῦ γλυκυτάτου Κυρίου,
σχῶμεν ἀτελεύτητον,
ψυχῆς ἐντρύφημα.

Ψευδωνύμου ἀπάτης,
τοῦ πονηροῦ λύτρωσαι,
καὶ τὴν ἀληθῆ τοῦ Κυρίου,
δίδου ἐπίγνωσιν,
τοῖς σὲ γεραίρουσιν,
Μάρτυς Χριστοῦ γενναιόφρον,
ὅπως τὸν Παράδεισον,
κληρονομήσωμεν.

Θεοτοκίον

Ὁ γλυκίψυχος ἔρως,
τοῦ σοῦ Υἱοῦ Δέσποινα,
Αἰμιλιανοῦ τὴν καρδίαν,
καιρίως ἔτρωσεν,
διό σου δέομαι,
τοῦ θείου ἔρωτος βέλη,
ἀκορέστως τρώσαιντο,
κἀμὲ τὸν ἄθλιον.

Διάσωσον,
ὦ χριστομάρτυς τοὺς σεβομένους σὴν θείαν μνήμην,
ἀπὸ κινδύνων ψυχῆς τε καὶ σώματος,
καὶ πάρεχε ἡμῖν ἀεί,
τῶν ἁγίων εὐχῶν σου τὴν προστασίαν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐπίβλεψον, ἐν εὐμενείᾳ,
πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Ὡς πάλαι σφοδρῶς, τὰ εἴδωλα συνέτριψας,
καὶ πλάνην ψυχῶν, γενναιοφρόνως ἤλεγξας,
οὕτω καὶ νῦν ἅγιε, Αἰμιλιανὲ θεοδόξαστε,
τὰ εἴδωλα τὰ τῶν παθῶν,
ταχέως ἐκ ψυχῶν ἡμῶν ἀφάνισον.

Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.

Νικητὰς δεῖξον Ἅγιε,
πάντας τοὺς τιμῶντας τὴν θείαν μνήμην σου,
ὅταν κύματα ἐγείρωνται,
καὶ καταπιεῖν ἡμᾶς φοβίζωσι.

Ψυχοτρόπων ἀπάλλαξον,
οὐσιῶν τοὺς χρήστας Μάρτυς πανεύφημε,
καὶ εἰρήνην ἀκατάσειστον,
τούτοις δὸς ταῖς θείαις ἱκεσίαις σου.

Ὕψωσόν με μακάριε,
Αἰμιλιανὲ ἐκ λάκκου τοῦ βίου θλίψεων,
καὶ χαρὰν Χριστοῦ μοι δώρησαι,
ἵνα ἀνυμνῶ τὴν μεσιτείαν σου.

Θεοτοκίον

Χαῖρε Μῆτερ ἀνύμφευτε,
ψάλλομεν ἀπαύστως καὶ μεγαλύνομεν,
σὲ τὴν κτίσιν ὑπεράρασαν,
τῷ Υἱῷ σου πάντες οἱ πιστεύοντες.

Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἤθλησας στεῤῥῶς,
ἀφιεὶς ἡμῖν παράδειγμα,
πῶς δεῖ ἁπάντων ὑπεραίρεσθαι,
διὰ Δεσπότην,
θεῖον πάθος ὑπομείναντα.
Σώματος φθαρτοῦ,
κατεφρόνησας μακάριε,
καὶ τῇ καμίνῳ ὁμιλήσας τῷ Χριστῷ,
καθικετεύεις,
ὑπὲρ πάντων τῶν τιμώντων σε.

Ἥρπασας σοφῶς,
εὐκαιρίαν πρὸς μαρτύριον,
τὴν τῶν εἰδώλων θεῖε Μάρτυς συντριβήν·
ὅθεν συντρίβειν,
καὶ ἡμᾶς τὰ πάθη δίδαξον.

Θεοτοκίον

Μείνασα ἁγνή,
μετὰ τόκον Παναμώμητε,
πάντας ἁγνεύοντας νοΐ τε καὶ σαρκί,
μὴ διαλίπῃς,
σαῖς εὐχαῖς στηρίζειν πάντοτε.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Ὠιδὴ ς'. Τὴν δέησιν.

Ὡς ἤκουσας,
τοῦ ἀθῴου σύλληψιν,
πεφανέρωσαι ἀμέσως τυράννῳ,
καὶ φανερῶν,
τὴν ἀλήθειαν πᾶσαν,
βασανισθῆναι εὐθὺς παραδέδοσαι,
διδάσκων Αἰμιλιανέ,
τὰς εὐθύνας λαμβάνειν τῶν πράξεων.

Νενέκρωσαι,
τοῖς τοῦ βίου πράγμασι,
τὸν σταυρὸν ἀναλαβὼν μαρτυρίου·
ὅθεν ἡμῖν,
δὸς μερίμναις νεκροῦσθαι,
ταῖς ἀφαιρούσαις σωτήριον μέριμναν,
εὐχαῖς σου Μάρτυς πρὸς Χριστόν,
τὸν μαρτύρων γλυκύτατον ἥδυσμα.

Ἀτρόμητον,
τῆς ψυχῆς τὸ φρόνημα,
ἔχων Μάρτυς πρὸς τὸ πῦρ ὡδηγήθης,
θείῳ πυρί,
τῆς ἀγάπης Κυρίου,
καταφλεγόμενος, ὅπερ ὡς δώρημα,
τοῖς σὲ τιμῶσιν εὐλαβῶς,
καὶ σὴν μνήμην γεραίρουσι χάρισαι.

### Θεοτοκίον

Ἰάτραινα,

ἀνθρωπίνης φύσεως,
ἀνεδείχθης Θεοτόκε Παρθένε,
τὸν Ἰατρόν,
τῶν ψυχῶν καὶ σωμάτων,
Ἐμμανουὴλ ἐξ αἱμάτων σου τέξασα,
Ὧι πρέσβευε διηνεκῶς,
ἰατρεύειν ἡμῶν τὰ νοσήματα.

Διάσωσον,
ὦ χριστομάρτυς τοὺς σεβομένους σὴν θείαν μνήμην,
ἀπὸ κινδύνων ψυχῆς τε καὶ σώματος,
καὶ πάρεχε ἡμῖν ἀεί,
τῶν ἁγίων εὐχῶν σου τὴν προστασίαν.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Πυρωθεὶς εὐσεβείᾳ μακάριε,
δυσσεβούντων συνέτριψας εἴδωλα,
ὅθεν σφύρᾳ,
τῶν ἱερῶν  εὐχῶν σου πρὸς Θεόν,
ἡμῶν,
εἴδωλα τὰ τῶν παθῶν,
σύντριψον Αἰμιλιανέ,
καὶ τελείως ἀφάνισον·
τὴν δὲ Χριστοῦ εἰκόνα,
ἔνθες ἐν ταῖς καρδίαις,
τῶν γεραιρόντων εὐλαβῶς,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ τιμώντων σὴν ἄθλησιν.

Καὶ εὐθὺς τὸ Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.*

**Εὐαγγέλιον,**

*Ἐκ τοῦ κατὰ Λουκᾶν* (κα΄ 12-19).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν καὶ φίλων καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Δόξα. Ἦχος β΄.

Ταῖς τοῦ Ἀθλοφόρου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

Θείῳ πυρπολούμενος,
ἀγάπης ζήλῳ Κυρίῳ,
τῶν εἰδώλων ἔθραυσας,
ξόανα τὰ ἄψυχα Μάρτυς ἔνδοξε·
ὅθεν ἀνεκήρυξας,
ἀληθείας σέβας,
καὶ σωφρόνως ἐμυκτήρισας,
πλάνην τὴν φέρουσαν,
εἰς κρημνὸν ψυχὰς καὶ ἀπώλειαν,
Χριστὸν δὲ ὡμολόγησας,
Αἰμιλιανὲ ὡς Θεάνθρωπον.
Διὰ τοῦτο ἤχθης,
ὡς πρόβατον εἰς κάμινον πυρός,
καὶ νῦν οἰκῶν τὸν Παράδεισον,
χριστωνύμων μνήσθητι.

Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Μὴ ἐνέγκας δαιμόνων,
τὴν λατρείαν παμμάκαρ τὴν ἀνθρωπόλεθρον,
τὰ ξόανα καθεῖλες,
τῇ σφύρᾳ ὁλοτρόπως,
διὸ θραῦσον τὰ εἴδωλα,

τὰ νοητὰ τῶν ψυχῶν,
τῶν σὲ ὑμνούντων πόθῳ.

Ἱερώτατον θῦμα,
τῷ Θεῷ προσηνέχθης ἐν τῇ καμίνῳ βληθείς,
ὅθεν ἡμᾶς ἀγάπης,
θύματα τοῦ Κυρίου,
ταῖς εὐχαῖς σου ἀνάδειξον,
ὅπως τὴν πύλην ὡς σύ,
εὕρωμεν Παραδείσου.

Λατρευτὰς τοῦ Δεσπότου,
ταῖς πρεσβείαις σου δεῖξον ἡμᾶς μακάριε,
τῆς αὐτοαληθείας,
καὶ πράττειν ἐκ καρδίας,
τὰ Αὐτοῦ δικαιώματα,
ὡς μαθηταὶ ἀληθεῖς,
καὶ μύσται φλογοφόροι.

Θεοτοκίον

Ἰσαρίθμους τῇ ψάμμῳ,
ἂν προσφέρωμεν Κόρῃ τῷ σῷ Υἱῷ τὰς ᾠδάς,
οὐδὲν ἐπιτελοῦμεν,
ὡς εἴρηται ἀξίως,
ὧν ἡμῖν ἐχαρίσατο,
καὶ δὴ ὡς πρέσβειραν σέ,
τὴν Κεχαριτωμένην.

Ὠιδὴ η'. Τὸν βασιλέα.

Ἀπὸ παγίδων,

τοῦ πονηροῦ δολομήτου,
τοὺς τιμῶντάς σε φύλαττε ἀτρώτους,
ὅπως θεῖε Μάρτυς,
γεραίρωμεν σὴν μνήμην.

Νίκην παράσχου,
κατὰ ἐχθροῦ παμπονήρου,
τοῦ ζητοῦντος ἡμᾶς καταδουλῶσαι,
ἀθλητὰ Κυρίου,
τοῦ στεφανώσαντός σε.

Ἔχων μεγάλην,
τὴν πρὸς Θεὸν παῤῥησίαν,
δι΄ Ὃν Μάρτυς ἐνήθλησας γενναίως,
πρέσβευε ἀπαύστως,
ὅπως σωθῶμεν πάντες.

Θεοτοκίον

Πηγὴ ἐλέους,
Θεοχαρίτωτε Κόρη,
τὸν Υἱόν σου καὶ Κύριον δυσώπει,
ὑπὲρ τῶν ὑμνούντων,
σὲ ὄντως Θεοτόκον.

Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἀγάπης πῦρ τὸ θεῖον,
ἔνθες ταῖς καρδίαις,
τῶν ἀνυμνούντων ὦ Μάρτυς σὴν ἄθλησιν,
δι΄ ἧς Χριστῷ ἀνηνέχθης,
ὡς ὁλοκαύτωμα.

Θεὸν ὁμολογήσας,
τὸν Χριστὸν γενναίως,
καὶ τῶν εἰδώλων ἐλέγξας δυσσέβειαν,
ἡμᾶς ὦ Μάρτυς φυλάττοις,
εἰς τὴν εὐσέβειαν.

Ἡ ἄθλησίς σου Μάρτυς,
τὰς ψυχὰς εὐφραίνει,
φιλομαρτύρων οὓς πάντοτε φύλαττε,
καὶ πῦρ τῆς θείας ἀγάπης,
τούτοις ὑπάναπτε.

Θεοτοκίον

Ἄχραντε Θεοτόκε,
τὸν γλυκὺν Υἱόν σου,
πάντων Μαρτύρων τὸ γλύκιστον ἥδυσμα,
ὑπὲρ ἡμῶν ἐκδυσώπει,
τῶν ἀνυμνούντων σε.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ,
καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ,
τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Μεγαλυνάρια

Χαίροις Δοροστόλου θεῖον φυτόν,
καὶ χριστομαρτύρων,
ὁ πυρίφλεκτος ἀθλητής,
χαίροις ὁ ἀγάπης,
Κυρίου πεπλησμένος,
καὶ χριστωνύμων κλέος,
καὶ ἐγκαλλώπισμα.

Πάντων ἀφειδήσας τῶν γεηρῶν,
καὶ Χριστὸν ποθήσας,
ὡς τὸ ὕψιστον ἐφετόν,
ξόανα εἰδώλων,
συνέτριψας γενναίως,
καὶ τῷ πυρὶ ἀθλήσας,
τὸ στέφος εἴληφας.
Πρέσβευε Κυρίῳ ὦ ἀθλητά,
ὑπὲρ τῶν ἐχόντων,
ὄνομά σου τὸ ἱερόν,
ὅπως κληρονόμοι,
σὺν πᾶσι τοῖς Ἁγίοις,
τῆς θείας Βασιλείας,
πάντες γενώμεθα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.*

*καὶ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς,
Κύριε ἐλέησον ἡμᾶς.
Πάσης γὰρ ἀπολογίας ἀποροῦντες,
ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ
οἱ ἁμαρτωλοὶ προσφέρομεν·
ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς·
ἐπὶ σοὶ γὰρ πεποίθαμεν.
Μὴ ὀργισθῇς ἡμῖν σφόδρα,
μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν·
ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος
καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.
Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου·
πάντες ἔργα χειρῶν σου
καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν,
εὐλογημένη Θεοτόκε.
Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν·
ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων.
Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

Ἦχος β.' Ὅτε ἐκ τοῦ ξύλου σε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Αἰμιλιανέ, μάρτυς Χριστοῦ,
ὁ ἐν τῷ πυρὶ μαρτυρήσας,
καὶ ἐναθλήσας καλῶς,
Τοῦτον καθικέτευε,
ὑπὲρ ἡμῶν ἐκτενῶς,
ὅπως φύγωμεν σκάνδαλα,
ἐχθροῦ τοῦ ἀρχαίου,
καὶ τὸ πῦρ ἀκοίμητον,
σχόντες ἀγάπης Αὐτοῦ,
μέτοχοι γενώμεθα πάντες,
τῆς ἐπουρανίου Πατρίδος,
ἔνθα οἱ χοροὶ Ἁγίων ἵστανται.

Δέσποινα πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου,
εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου,
φύλαττε, εὐλογημένη Θεοτόκε,
ἵνα σε δοξάζωμεν,
τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων,
καὶ τῆς Θεοτόκου,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν,
καὶ ἐλέησον ἡμᾶς,
ὡς μόνος οἰκτίρμων.

Δι᾽ εὐχῶν.

## Στίχοι

*Ἔκκαυσον ἡμᾶς πυρὶ θείας ἀγάπης,*
*Αἰμιλιανέ, θεοπυρπολημένε.*

*Γέροντα ἡμῶν συνώνυμόν σοι, Μάρτυς,*
*Αἰμιλιανόν, στέψον Μαρτύρων στέφει.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ